MASTER
NEGATIVE
NO. 93-81279-19

AUTHOR:

LAUDIEN, ARTHUR

TITLE:

GRIECHISCHE PAPYRI AUS OXYRHYNCHOS

PLACE:

BERLIN

DATE:

1912

Master Negative #

93-81279-19

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record



887.17
L364 Laudien, Arthur,
Griechische papyri aus Oxyrhynchos, für den schulgebrauch ausgewählt von Dr. Arthur Laudien... Berlin, Weidmannsche buchhandlung, 1912.
viii, 58 p. facsims. 22 cm.

578663

Restrictions on Use:


TECHNICAL MICROFORM DATA

FILM SIZE: 35 mm REDUCTION RATIO: 11x
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 4/13/93 INITIALS BAP
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

AIIM

Association for Information and Image Management
1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910
301/587-8202




Centimeter

1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 mm

1 2 3 4 5

Inches

1.0 1.1 1.25 1.4 1.6 1.8 2.0 2.2 2.5 2.8 3.2 3.6 4.0 4.5 5.0 5.6 6.3



MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

GRIECHISCHE PAPYRI

AUS

OXYRHYNCHOS

FÜR DEN SCHULGEBRAUCH AUSGEWÄHLT

VON

DR. ARTHUR LAUDIEN
OBERLEHRER IN DÜSSELDORF

BERLIN
WEIDMANNSCHE BUCHHANDLUNG
1912


SIGILLVM · COLLEGII · COLVMBIAE · NOVI · EBORACI
IN LVMINE TVO VIDEBIMVS LVMEN

GRIECHISCHE PAPYRI

AUS

OXYRHYNCHOS

FÜR DEN SCHULGEBRAUCH AUSGEWÄHLT

VON

DR. ARTHUR LAUDIEN
OBERLEHRER IN DÜSSELDORF

BERLIN
WEIDMANNSCHE BUCHHANDLUNG
1912

MEINEM BRUDER WALTER

MEINEM BRUDER WALTER

Vorwort.

Zunächst nehme ich hier Gelegenheit, den Herren meinen Dank auszusprechen, die mich bei vorliegender Arbeit unterstützt haben: Herrn Professor Boll in Heidelberg, Provinzialschulrat und Professor P. Cauer, Professor Kroll und Professor K. Schmidt in Münster, Professor R. Wünsch in Königsberg und dem Astrologen Herrn A. Kniepf in Hamburg und nicht zum wenigsten dem Direktor des Akademischen Kunstmuseums in Bonn, Herrn Professor Löschke, der mir jederzeit den Zutritt zu dem Institut gestattete.

Es kann nicht meine Aufgabe sein, an den z. T. bereits vorzüglich bearbeiteten Papyri Textkritik zu üben — das wenige Eigene habe ich durch gebrochene Klammern ⟨ ⟩ vom überlieferten Text unterschieden — oder in der Interpretation Neues zu bringen, als vielmehr das von der Wissenschaft Erarbeitete auch in den Unterricht der Gymnasien zu übertragen. Dementsprechend basieren meine Erläuterungen durchaus auf den Anmerkungen der wissenschaftlichen Ausgaben; im übrigen habe ich naheliegende Fachlitteratur benutzt. Sie in jedem Einzelfalle zu zitieren würde über den Rahmen einer Schulausgabe hinausführen.

Die eckigen Klammern enthalten die Ergänzungen verstümmelter Stellen, die runden die Ergänzungen der in den Originalen abgekürzten Worte.

Inhalt.

I. Kreis.

II. Kreis.


III. Kreis.

Die ägyptischen Monate.

(Die Namen in der alexandrinischen offiziellen Schreibweise; daneben bei einigen die Bezeichnungen zu Ehren römischer Kaiser oder der Angehörigen dieser.)

1.	Θώθ	Σεβαστός	29. VIII. — 27. IX.
2.	Φαῶφι	Δομιτιανός	28. IX. — 27. X.
3.	Ἁθύρ	Νέος Σεβαστός	28. X. — 26. XI.
4.	Χοίακ	Ἁδριανός	27. XI. — 26. XII.
5.	Τῦβι	—	27. XII. — 25. I.
6.	Μεχίρ	—	26. I. — 24. II.
7.	Φαμενώθ	—	25. II. — 26. III.
8.	Φαρμοῦθι	Νερώνειος Σεβαστός	27. III. — 25. IV.
9.	Παχών	Γερμανίκειος	26. IV. — 25. V.
10.	Παῦνι	Σωτήριος	26. V. — 24. VI.
11.	Ἐπίφ	—	25. VI. — 24. VII.
12.	Μεσορή	Καισάρειος	25. VII. — 23. VIII.
	Αἱ ἐπαγόμεναι		24. VIII. — 28. VIII.

I. Kreis.




Brief eines Arbeiters an sein Weib.
Abgedruckt aus Deißmann Licht vom Osten S. 110.

Die ägyptischen Monate.

(Die Namen in der alexandrinischen offiziellen Schreibweise; daneben bei einigen die Bezeichnungen zu Ehren römischer Kaiser oder der Angehörigen dieser.)

1. Θώθ	Σεβαστός	29. VIII. — 27. IX.
2. Φαῶφι	Δομιτιανός	28. IX. — 27. X.
3. Ἁθύρ	Νέος Σεβαστός	28. X. — 26. XI.
4. Χοίακ	Ἁδριανός	27. XI. — 26. XII.
5. Τῦβι	—	27. XII. — 25. I.
6. Μεχίρ	—	26. I. — 24. II.
7. Φαμενώθ	—	25. II. — 26. III.
8. Φαρμοῦθι	Νερώνειος Σεβαστός	27. III. — 25. IV.
9. Παχών	Γερμανίκειος	26. IV. — 25. V.
10. Παῦνι	Σωτήριος	26. V. — 24. VI.
11. Ἐπίφ	—	25. VI. — 24. VII.
12. Μεσορή	Καισάρειος	25. VII. — 23. VIII.
Αἱ ἐπαγόμεναι		24. VIII. — 28. VIII.

I. Kreis.



Brief eines Arbeiters an sein Weib.
Abgedruckt aus Deißmann Licht vom Osten S. 110.

1. Brief eines Arbeiters an sein Weib.

O. P. IV 744; Deißmann Licht vom Osten S. 109; Lietzmann Kl. Texte 14. 5.

Ἱλαρίων α Ἄλιτι τῆι ἀδελφῆι πλεῖστα χαί-
ρειν καὶ Βεροῦτι τῇ κυρία μου καὶ Ἀπολλω-
νάριν. γίνωσκε ὡς ἔτι καὶ νῦν ἐν Ἀλεξαν-
δρέα ᾽σμεν. μὴ ἀγωνιᾶς, ἐὰν ὅλως εἰς-
5 πορεύονται, ἐγὼ ἐν Ἀλεξανδρέα μένω.
ἐρωτῶ σε καὶ παρακαλῶ σε ἐπιμελή-
θ⟨ητ⟩ι τῶ παιδίῳ καὶ ἐὰν εὐθὺς ὀψώνι-
ον λάβωμεν ἀποστελῶ σε ἄνω. ἐὰν
πολλὰ πολλῶν τέκης, ἐὰν ἦν ἄρσε-
10 νον ἄφες, ἐὰν ἦν θήλεα ἔκβαλε.
εἴρηκας δὲ Ἀφροδισιᾶτι ὅτι μή με
ἐπιλάθης. πῶς δύναμαί σε ἐπι-
λαθεῖν; ἐρωτῶ σε οὖν ἵνα μὴ ἀγω-
νιάσης.
15 (ἔτους) κθ Καίσαρος Παῦνι κγ

Rückseite:

Ἱλαρίων. Ἄλιτι ἀπόδος.

2. Brief eines Vaters an seinen Sohn.

O. P. III 531; Lietzmann Kl. Texte 14, 4; Mitteis-Wilcken Papyruskunde I 2, 482.

Κορνήλιος Ἱέρακι τῷ γλυκυτάτωι υἱῷ
χαίρειν.
Ἡδέως σε ἀσπαζόμεθα πάντες οἱ ἐν οἴκωι καὶ
τοὺς μετ᾽ ἐσοῦ πάντας. Περὶ οὗ μοι παλλάκεις
5 γράφεις ἀνθρώπου μηδὲν προσποιηθῇς
ἕως ἐπ᾽ ἀγαθῷ πρὸς σὲ παραγένομαι σὺν Οὐ-
ηστείνῳ μετὰ καὶ τῶν ὄνων. Ἐὰν γὰρ θεοὶ θέλω-
σι, τάχιον πρὸς σὲ ἥξω μετὰ τὸν Μεχεὶρ μῆνα,
ἐπεὶ ἐν χερσὶν ἔχω ἐπείξιμα ἔργα. Ὅρα μηδε-
10 νὶ ἀνθρώπων ἐν τῇ οἰκίᾳ προσκρούσῃς, ἀλλὰ τοῖς
βιβλίοις σου αὐτὸ μόνον πρόσεχε φιλολογῶν
καὶ ἀπ᾽ αὐτῶν ὄνησιν ἕξεις. Κόμισαι διὰ Ὀν-
νωφρᾶ τὰ ἱμάτια τὰ λευκὰ τὰ δυνάμενα
μετὰ τῶν πορφυρῶν φορεῖσθαι φαινολίων,
15 τὰ ἄλλα μετὰ τῶν μουρσίνων φορέσεις.
Διὰ Ἀνουβᾶ πέμψω σοι καὶ ἀργύριον καὶ

ἐπιμήνια καὶ τὸ ἄλλο ζεῦγος τῶν ὑσγείνων.
Τοῖς ὀψαρίοις ἐξήλλαξας ἡμᾶς, τούτων καὶ τὴν
τιμὴν δι᾽ Ἀνουβᾶ πέμψω σοι, μέντοιγε
20 ἕως πρὸς σὲ ἔλθῃ Ἀνουβᾶς ἀπὸ τοῦ σοῦ χαλκοῦ τὸ
ὀψώνιόν σου καὶ τῶν σῶν ἐξοδίασον
ἕως πέμψω. Ἔστι δὲ τοῦ Τῦβι μηνὸς
σοὶ ὃ θέλεις, Φρονίμῳ δραχμαὶ ιϛ, τοῖς περὶ Ἀβάσκαντον
καὶ Μύρωνι δραχμαὶ θ, Σεκούνδῳ δραχμαὶ ιβ. Πέμ-
25 ψον Φρόνιμον πρὸς Ἀσκληπιάδην ἐμῶι
ὀνόματι καὶ λαβέτω παρ᾽ αὐτοῦ ἀντιφώνη-
σιν ἧς ἔγραψα αὐτῷ ἐπιστολῆς καὶ πέμψον.
περὶ ὧν θέλεις δήλωσόν μοι. Ἔρρωσο, τέκνον.
Τῦβι ιϛ.

Rückseite:

Ἱέρακι υἱῶι ἀπὸ Κορνηλίου πατρός.

3. Brief eines Vaters an seinen Sohn.

O. P. I 123.

Κυρίῳ μου υἱῷ Διονυσοθέωνι
ὁ πατὴρ χαίρειν.
εὐκαίρη τις καὶ νῦν τοῦ ἀνερχομένου πρὸς ὑμᾶς
ἀναγκαῖόν μοι ἐγένετο προσαγορεῦσαι ὑμᾶς.
5 πάνυ θαυμάζω, υἱέ μου, μέχρις σήμερον γράμ-
ματά σου οὐκ ἔλαβον τὰ δηλοῦντά μοι τὰ περὶ τῆς
ὁλοκληρίας ὑμῶν. κἂν ὥς, δέσποτά μοι, ἀντί-
γραψόν μοι ἐν τάχει· πάνυ γὰρ θλείβομαι διότι
οὐκ ἐδεξάμην σου γράμματα. γενοῦ πρὸς τὸν ἀδελφόν
10 μου Θεόδωρον καὶ ποίησον αὐτὸν σκυλῆναι
πρὸς Τιμόθεον καὶ μεταδῶναι αὐτῷ τὸ ἑτοῖμον
αὐτοῦ ποιῆσαι εἶναι εἰσβῇ προσεδρεῦσαι. ἤδη γὰρ
οἱ τῶν ἄλλων πόλεων συνείδησιν εἰσήνεγκαν
τοῖς κολλήγαις αὐτῶν, εἰσῆλθαν. εἰσβαίνων οὖν
15 μετὰ τῆς αἰσθῆτος γνώτω ὁ ἐρχόμενος ἵνα ἑτοῖ-
μος εἰσβῇ. μὴ οὖν θελήσουσιν ἀσυνειδήτως
ἡμᾶς φέριν πρὸς ἀλλήλους ὡς εἰδότας ὅτι τὸ αὐ-
τὸ ἡμᾶς πάντας καταλαμβάνει. ἐκελεύσθημεν γὰρ
μετὰ τῶν χλαμύδων εἰσβῆναι, ὅθεν ὁ ἐρχόμενος
20 ἑτοῖμος ἐλθάτω ὡς προσεδρεῦσαι μέλλων.
ἀσπάζομαι τὴν γλικυτάτην μου θυγατέρα Μακκαρίαν

καὶ τὴν δεσποίνην μου μητέραν ὑμῶν καὶ ὅλους
τοὺς ἡμῶν κατ᾽ ὄνομα. ἐρρῶσθαί σε εὔχομαι πολλοῖς
χρόνοις, κύριε υἱέ.
᾽Επεὶφ κβ.

Rückseite:

Κυρίῳ μου υἱῷ Διονυσοθέωνι ///// ᾽Ισχυρίων ταβουλάριος.

4. Brief einer Mutter an ihren Sohn.

O. P. VI 930; Lietzmann Kl. Texte 14, 13; Mitteis-Wilcken I 2, 138.

. . . . . . μὴ ὄκνι μοι
γράφειν καὶ περὶ ὧν ἐ-
ὰν χρείαν ἔχῃς. ἐντεῦ-
θεν ἐλοιπήθην ἐπιγνοῦ-
5 σα παρὰ τῆς θυγατρὸς
τοῦ καθηγητοῦ ἡμῶν
Διογένους καταπεπλευ-
κέναι αὐτόν. ἠμερίμνουν
γὰρ περὶ αὐτοῦ εἰδυῖα ὅ-
10 τι κατὰ δύναμιν μέλλει
σοι προσέχειν. ἐμέλησε
δέ μοι πέμψαι καὶ πυθέ-
σθαι περὶ τῆς ὑγίας σου καὶ
ἐπιγνῶναι τί ἀναγεινώ-
15 σκεις· καὶ ἔλεγεν τὸ ζῆτα,
ἐμαρτύρει δὲ πολλὰ πε-
ρὶ τοῦ παιδαγωγοῦ σου.
ὥστε οὖν, τέκνον, μελη-
σάτω σοί τε καὶ τῷ παιδα-
20 γωγῷ σου καθήκοντι κα-
θηγητῇ σε παραβάλλειν.
ἀσπάζονταί σε πολλὰ αἱ
ἀδελφαί σου καὶ τὰ ἀβάσ-
καντα παιδία Θεωνίδος
25 καὶ οἱ ἡμέτεροι πάντες
κατ᾽ ὄνομα. ἄσπασαι τὸν
τειμιώτατον παιδαγω-
γόν σου ῎Ερωτα.

Rückseite:

Πτολεμαίῳ υἱῶι.

5. Brief eines Jungen an seinen Vater.

O. P. I 119; Deißmann Licht vom Osten 137; Lietzmann Kl. Texte 14, 12.

Θέων Θέωνι τῷ πατρὶ χαίρειν.
καλῶς ἐποίησες, οὐκ ἀπένηχές με μετ᾽ ἐ-
σοῦ εἰς πόλιν. ἡ οὐ θέλις ἀπενεκκεῖν με-
τ᾽ ἐσοῦ εἰς ᾽Αλεξάνδριαν οὐ μὴ γράψω σε ἐ-
5 πιστολὴν οὔτε λαλῶ σε οὔτε υἱγένω σε
εἶτα. ἂν δὲ ἔλθῃς εἰς ᾽Αλεξάνδριαν, οὐ
μὴ λάβω χεῖραν παρὰ σοῦ οὔτε πάλι χαίρω
σε λυπόν. ἂμ μὴ θέλῃς ἀπενέκαι με,
ταῦτα γείνετε. καὶ ἡ μήτηρ μου εἶπε ᾽Αρ-
10 χελάῳ, ὅτι ἀναστατοῖ με· ἄρρον αὐτόν.

καλῶς δὲ ἐποίησες, δῶρά μοι ἔπεμψες
μεγάλα ἀράκια. πεπλάνηκαν ἡμῶς ἐκεῖ
τῇ ἡμέρᾳ ι̅β̅ ὅτι ἔπλευσες. λυπὸν πέμψον εἴς
με, παρακαλῶ σε. ἂμ μὴ πέμψῃς, οὐ μὴ φά-
15 γω, οὐ μὴ πείνω· ταῦτα.
ἐρῶσθέ σε εὔχ(ομαι).
Τῦβι ι̅η̅.

Rückseite:

ἀπόδος Θέωνι ἀπὸ Θεωνᾶτος υἱῶ.

6. Brief an die Schwester.

O. P. II 293.

Διονύσιος Διδύμῃ τῆι ἀδελ-
φῆι πλεῖστα χαίρειν καὶ διὰ
παντὸς ὑγιαίνειν. μοὐδεμί-
αν μοι φάσιν ἀπέστειλας πε-
5 ρὶ τῶν ἱματίων οὔτε διὰ γρα-
πτοῦ οὔτε διὰ σημείου, ἀλλ᾽ ἔ-
τι καὶ νῦν κεῖται μέχρι οὗ ἀ-
ποστείλῃς μοι φάσιν. τῷ δὲ
φέροντί σοι τὴν ἐπιστολὴν
10 Θεωνᾶτι ἱκανὸν ποίησον
περὶ οὗ ἐὰν θέλῃ. οὐκ ἔστιν
⋮
ἐπισκοποῦ δὲ ὑμᾶς καὶ
πάντας τοὺς ἐν οἴκῳ.
ἔρρωσο.
(ἔτους) ιδ Τιβερίου Καίσαρος Σεβαστοῦ ᾽Αθὺρ ι̅η̅.

Rückseite:

ἀπόδο(ς) παρὰ Διονυσίου
Διδύμῃ τῆι ἀδελφῇ.

7. Brief einer Ungebildeten.

O. P. VII 1067.

῾Ελένη Πετεχῶντος
τῷ ἀδελφῷ χαίρειν.
οὐ καλῶς ἔπραξας μὴ ἐλ-
θεῖν χάριν τοῦ ἀδελφοῦ
5 σου· ἀφῆκες αὐτὸν μὴ
κηδεῦσαι αὐτόν· μάθε
οὖν ὅτι ἀλλοτρίαν γυ-
ναῖκαν ἐκληρονόμη-
σεν αὐτόν. γενοῦ οὖν
10 πρὸς Θέωνα καὶ εἰπὲ

αὐτῷ περὶ τῆς κέλλας
ὅτι ἐσφραγίσθη τὴν
κέλλαν αὐτοῦ μη-
δὲν ὀφείλων, καὶ
15 εἰπὲ Πετεχῶντι τὸν
υἱὸν Πολυδεύκης
ὅτι εἰ μέλλεις ἐλθεῖν
ἐλθέ, Διόσκορος γὰρ
λειτουργεῖ ὑπὲρ σοῦ·
20 εἰ οἶδες ὅτι οὐ μέλλεις
ἐλθεῖν, πέμψον μοι
τὸν ἀδελφόν σου
Κάστορα.
ἐρρῶσθαί σε εὔχο(μαι).

25 κἀγὼ Ἀλέξανδρος ὁ πα-
τὴρ ὑμῶν ἀσπάζομαι
ὑμᾶς πολλά. ἀγόρασόν
μοι ὀψαρίδιον ἐκ τῆς
θαλάσσης, πέμψον δὲ
30 διὰ ἀνθρώπου πεφρον-
ημένου . . .

8. Brief an einen Bekannten.

O. P. I 113.

Κορβόλων Ἡρακλείδῃ τῶι κυρίωι
χαίρειν.
ἔπεμψά σοι διὰ Ὡρίωνος τὴν κλεῖδα καὶ
καμηλ(ίτου) Ἀπολ(λωνίου)
διὰ Ὀννώφριος τὸ χελώνιον. συνήλλιξα
5 ἐκείνῃ τῆι ἐπιστολῇ δεῖγμα λευκόινα·
πρὸς αὐτό μοι οὖν ἐρωτηθεὶς εὖ ποιή-
σεις ἀγοράσεις μοι (δραχμὰς) β, καὶ ταχύ μοι
πέμψον δι᾽ οὗ ἐὰν εὕρῃς, ἐπεὶ ὁ κιτὼν
ὑφανθῆναι μέλλει. ἐκομισάμην
10 πάνθ᾽ ὅσα ἔγραψας κομίσασθαί με
παρὰ Ὀννώφριος ὑγιῆ. ἔπεμψά σοι
τοῦ αὐτοῦ διὰ Ὀννώφριος μήλων χοίνικας ἓξ
γινώσκων
καλῶν. χάριν ἔχω θεοῖς πᾶσιν ὅτι
ὅτι μετέλαβον παρατετευχότα
15 Πλουτίωνα εἰς τὸν Ὀξυρυγχείτην.
μὴ δόξῃς με ἠμεληκότα τῆς κλει-
δός, ἀλλὰ ἡ αἰτία αὕτη ἐστίν, διὰ τὸ
τὸν χαλκέα μακρὰν ἡμῶν εἶναι.
περὶ ὧν σοι γεγράφειν διὰ Κορβόλω-
20 νος πέμψαι μοι. θαυμάζω πῶς
οὐκ ἐδικαίωσάς μοι πέμψαι, καὶ
ταῦτα ἐμοῦ χρῄζοντος εἰς ἑορτήν.
ἐρωτηθεὶς ἀγόρασόν μοι σφραγ(ῖδα) ἀργυ-

ροῦν καὶ τάχειόν μοι πέμψον. σπούδα-
25 σον ἕως οὗ ἀγοράσῃ

Am Rande:

μήτ(ηρ) Εἰρήνης
μοι Ὀννῶφρις ἃ αὐτῶι εἴρηκεν. εἶπον αὐτῷ ὅτι ἔλεγε Σύντροφος
μηκέτι δοῦναί
τι Ἀμαραντῷ εἰς τὸν ἐμὸν λόγον ἀπὸ τοῦ νῦν. ὅτι ἔδωκας αὐτῶι
δήλωσόν μοι ἵνα συν-
άρωμαι αὐτῶι λόγον· ἐὰν δ᾽ ἄρα μή, ἅμα τῷ υἱῶι μου ἐξέρχομαι
τούτου ἕνεκα.

Rückseite:

ἔσχον παρὰ Κορβόλωνος τοὺς τυροὺς τοὺς μεγάλους· οὐκ ἤθελον
δὲ μεγάλους, ἀλλὰ
30 μεικροὺς ἤθελον. περὶ δὲ καὶ σὺ ὧν θέλεις δήλου μοι ἡδέως
ποήσοντι. ἔρρωσο.
Παῦνι ᾱ. πέμψον μοι κοπτῶν ὀβολ(ὸν) ἕνα τῶι παιδ(ὶ)
τῆ(ς) ἀδελ(φῆς).

Adresse:

Ἡρακλείδ(ῃ) Ἀμμω(νίου) τῶι κυρίωι.

9. Empfehlungsschreiben.

O. P. II 292.

Θέων Τυράννωι τῶι τιμιωτάτωι
πλεῖστα χαίρειν.
Ἡρακλείδης ὁ ἀποδιδούς σοι τὴν
ἐπιστολήν ἐστίν μου ἀδελφός·
5 διὸ παρακαλῶ σε μετὰ πάσης δυνά-
μεως ἔχειν αὐτὸν συνεσταμέ-
νον. ἠρώτησα δὲ καὶ Ἑρμίαν
τὸν ἀδελφὸν διὰ γραπτοῦ ἀνηγεῖσθαί
σοι περὶ τούτου. χαρίεσαι δέ μοι τὰ μέγιστα
10 ἐάν σου τῆς ἐπισημασίας τύχῃ.
πρὸ δὲ πάντων ὑγιαίνειν σε εὔχο-
μαι ἀβασκάντως τὰ ἄριστα
πράττων. ἔρρω(σο).

Rückseite:

Τυράννωι διοικ(ητῇ).

10. Brief betreffend einen Kammerjäger.

O. P. II 299.

῾Ωρος ᾿Απίωνι τῷ τειμειωτάτωι χαίρειν.
Λάμπωνι μυοθηρευτῇ ἔδωκα αὐτῷ διὰ σοῦ ἀρα-
βῶνα (δραχμὰς) η ἵνα μυοθηρεύσει ἔντοκα. καλῶς ποιήσεις
πέμψεις μοι αὐτάς. καὶ Διονυσίῳ προστάτῃ Νεμερῶν
5 κέκρηκα (δραχμὰς) η καὶ ταύτας οὐκ ἔπεμψε, ἵνα εἰδῇς.
ἔρρωσ(ο). Παῦνι κδ.

11. Einladung zum Festessen.

O. P. I 110; Mitteis-Wilcken I 2, 99.

᾿Ερωτᾷ σε Χαιρήμων δειπνῆ-
σαι εἰς κλείνην τοῦ κυρίου Σαρά-
πιδος ἐν τῷ Σαραπείῳ αὔριον,
ἥτις ἐστὶν ιε, ἀπὸ ὥρας θ.

12. Einladung zur Hochzeit.

O. P. I 111; Mitteis-Wilcken I 2, 484.

᾿Ερωτᾷ σε ῾Ηραὶς δειπνῆσαι
εἰς γάμους τέκνων αὑτῆς
ἐν τῇ οἰκίᾳ αὔριον, ἥτις ἐστὶν
πέμπτη, ἀπὸ ὥρας θ.

13. Desgleichen.

O. P. VI 927.

Καλῖ σαι ῎Ερως
εἰς γάμους, ἥτις
ἐστὶν αὔριον κθ
ἀπὸ ὥρας θ.

14. Einladung zu einem Fest.

O. P. I 112; Mitteis-Wilcken I 2, 488.

Χαίροις, κυρία μου Σερηνία
π(αρὰ) Πετοσείριος.
πᾶν ποίησον, κυρία, ἐξελθεῖν τῇ
κ' τοῖς γενεθλείοις τοῦ θεοῦ, καὶ
5 δήλωσόν μοι, ἢ πλοίῳ ἐξέρχει

ἢ ὄνῳ, ἵνα πεμφθῇ σοι. ἀλλ' ὅρα μὴ
ἀμελήσῃς, κυρία. ἐρρῶσθαί σε
εὔχομαι πολλοῖς χρόνοις.

II. Kreis.

15. Ehekontrakt.

O. P. III 496; Mitteis-Wilcken II 2, 287.

῎Ετους ἑνδεκάτου Αὐτοκράτορος Καίσαρος Τραιανοῦ ῾Αδριανοῦ
Σεβαστοῦ Φαρμοῦθι κδ, ἐν ᾿Οξυρύγχων πόλει τῆς Θηβαίδος, ἀγαθῇ
τύχῃ, ἐπὶ ᾿Ιουλίας Σεβαστῆς ἐν ἀγυιᾷ. ᾿Εξέδοτο Σαραπίων Σαραπίωνος
τοῦ Σαραπίωνος τοῦ Σαραπίωνος μητρὸς Θαίδος Σαραπίωνος ἀπὸ ᾿Οξυ-
5 ρύγχων πόλεως τὴν ἑαυτοῦ θυγατέρα Θαίδα μητρὸς . . . σ . . μι . . . Σα-
ραπίωνι Εὐδαίμονος τοῦ Θέωνος μητρὸς ῾Ηρᾶτος τῆς . . . . μητρὸς
Διδοῦτος· ἀπέχει δὲ ὁ γαμῶν παρὰ Σαραπίωνος τοῦ πατρὸς καὶ ἐκ-
δότου ἐνω . . . τιων ζεῦγος μναιαίων τριῶν καὶ τετάρτων δέκα τεσσάρων
ἡμίσους, περονείδιον τετάρτων ὀκτὼ . . . . ., διον τετάρτων ἕξ, ἁλυσείδιον
10 ἔχον χλωροὺς χ . . τους λίθου τοῦ χρυσίου ἄγοντος τετάρτας . . . . ἥμισυ,
ὡς εἶναι ἐπὶ τὸ αὐτὸ χρυσίου σταθμῷ ᾿Οξυρυγχείτῃ μναιαῖα πέντε καὶ
τετάρτας . . καὶ ἱματίων συνθέσεις δύο, ζώνας δύο σανδυκίνην ῥοδίνη-
ν . ατιον πάλλιον, πάντα δὲ ἐν συντιμήσει ἀργυρίου δραχμῶν πεντακο-
σίων ἑξήκοντα· καὶ ἀργυρίου δραχμὰς χιλίας ὀκτακοσίας ἑξήκοντα, ὡς
15 εἶναι ἐπὶ τὸ αὐτὸ τὴν ὅλην φερνὴν ἀργυρίου Σεβαστοῦ νομίσματος
δραχμὰς τετρακισχιλίας ἑκατόν. καὶ ἡ τῆς γαμουμένης μάμμη Θαὶς
Σαραπίωνος μητρὸς ῾Ηρακλοῦτος ἀπὸ τῆς αὐτῆς πόλεως μετὰ κυρίου
τοῦ ἑαυτῆς μὲν ἑτέρου υἱοῦ τοῦ δὲ ἐκδότου γνησίου ἀδελφοῦ Σαρα-
πίωνος Σαραπίωνος ὁμολογεῖ ἐν ἀγυιᾷ τῇ αὐτῇ ἐγδοῦναι τὴν Θαίδα
20 καὶ δίδωσι τῇ αὐτῇ Θαίδι. . . . Καλλιτύχης καὶ τῶν ἐσομένων ἐξ αὐτῆς
ἐκγόνων τὴν δὲ δουλείαν καὶ ἀποφορὰς αὐτῆς συνέξει ὁ γαμῶν . . μ . .
μων τῇ γαμουμένῃ ἐφ' ὅσον σύνεισι ἀλλήλοις, οὐκ ἐξόντος τῷ γα-
μοῦντι . . ετισθαι τὴν δούλην ἄνευ τῆς [12 Buchstaben]υ οὐδέ τι προσ-
φερόμενον, οἰκίαν καὶ αἴθριον καὶ αὐλὴν καὶ τὰ ταύτης χρηστήρια καὶ
25 δοῦλα σώματα Σαραποῦν καὶ Νικαροῦν καὶ τὰ τῆς Νικαροῦτος ἔκγονα
Σαραποῦν καὶ Κέρδωνα καὶ ᾿Επίχαρμον καὶ τὰ ἐσόμενα ἐξ αὐτῶν ἢ ἄλλων
ἔκγονα καὶ ἃ ἐὰν πρὸς τούτοις ἐπικτήσηται ἢ προσκ . . . . πωλεῖν οὐδὲ
ὑποτίθεσθαι οὐδὲ ἄλλως καταχρηματίζειν χωρὶς εὐδοκούσης τῆς γαμου-
μένης. Συμβιούτωσαν οὖν ἀλλήλοις ἀμέμπτως οἱ γαμοῦντες καὶ χορη-
30 γείτω ὁ γαμῶν τῇ γαμουμένῃ τὰ δέοντα κατὰ δύναμιν. ἐὰν δέ τι δια-
φέρωνται πρὸς ἀλλήλους καὶ βούληται ἡ γαμουμένη ἀπαλλάσσεσθαι ἀπὸ

τοῦ γαμοῦντος, ἐπειδὰν ἡ ἀπαλλαγὴ γένηται, ἡ γαμουμένη μὲν ἀπο-
σπάτω τὴν δούλην Καλλιτύχην καὶ τὰ ἐσόμενα ἐξ αὐτῆς ἔκγονα· καὶ
ἀποδότω ὁ γαμῶν τῷ ἐκδότῃ ἐὰν περιῇν, εἰ δὲ μή, τῇ γαμουμένῃ τὰς
35 τῆς φερνῆς δραχμὰς τετρακισχιλίας ἑκατὸν ἐν ἡμέραις... ἀφ᾽ ἧς ἐὰν
ἀπαιτηθῇ, ἢ ἀποτεισάτω μεθ᾽ ἡμιολίας ... ἕκαστα καὶ . . ταδε ....
. . . . . κιν γένηται. Ἐὰν δὲ ἔνκυος οὖσα ἡ γαμουμένη ἀπαλλαγῇ, δώσει
αὐτῇ ὁ γαμῶν ἄλλας εἰς λόγον λοχείας δραχμὰς ἑξήκοντα. Συνφερο-
μένων δ᾽ αὐτῶν εἴη μὲν ὑγεία. ἐὰν δέ ποτε συμβῇ τινα τῶν γαμούντων
40 τελευτῆσαι, ἐχέτω ὁ γαμῶν τὴν κατὰ τῶν ἑαυτοῦ ἐξουσίαν, ἃ ἐὰν αἱρῆ-
ταί ἐπιτελεῖν καὶ οἷς ἐὰν βούληται μερίζειν· ἐὰν δὲ μηδὲν ἐπιτελέσῃ,
εἶναι καὶ αὐτὰ μετὰ τελευτὴν αὐτοῦ τῶν ἐξ ἀλλήλων τέκνων. Εἰ δὲ ἦν
ὁ γαμῶν πρότερος τετελευτηκώς, ἐχέτω ἡ γαμουμένη .... ἔστω ἡ
γαμουμένη κατὰ τὸ ἥμισυ ἢ ὁ ἔγγιστος καὶ ὁ ὑπὸ τοῦ γαμοῦντος κα-
45 τασταθησόμενος κατὰ τὸ ἕτερον ἥμισυ ἀμφότεροι ἐπίτροποι, τῶν τέκνων
παρὰ τῇ μητρὶ διαιτουμένων ἕως ἡλικίας γένωνται. ἐὰν δὲ μηδένα ὁ
γαμῶν τῆς ἡμισείας ἐπιτροπῆς ἐπίτροπον καταστήσῃ, ἔστω μόνη ἡ γα-
μουμένη ἢ ὁ ἔνγιστος, οὐδενὶ ἐξόντος ἐκβάλλειν αὐτὴν τῆς ἐπιτροπῆς
οὐδὲ μέρους.· Ἐὰν δὲ ἡ γαμουμένη προτέρα τελευτήσῃ τέκνων αὐτοῖς
50 μὴ ὄντων ἐξ ἀλλήλων ἢ καὶ τῶν γενομένων μεταλλαξάντων ἀτέκνων,
ἀποδότω ὁ γαμῶν τὰ ἐν φερνῇ ἀργυρίου δραχμὰς τετρακισχιλίας ἑκα-
τὸν ἐν ἡμέραις ἑξήκοντα καὶ ἀναπεμπέσθω εἰς τοὺς αὐτοὺς περὶ τὴν
γαμουμένην τὰ ἄλλα αὐτῆς πάντα. Ἐὰν δὲ ὡσαύτως ὁ γαμῶν πρότε-
ρος τελευτήσῃ τέκνων αὐτοῖς μὴ ὄντων ἐξ ἀλλήλων ἢ καὶ τῶν γενο-
55 μένων ἐπιμεταλλαξάντων ἀτέκνων, ἀποσπάσασα τὴν δούλην Καλλιτύχην
καὶ τὰ ἐσόμενα ἐξ αὐτῆς ἔκγονα, ἕως δ᾽ ἂν κομίσηται κυριευέτω πάν-
των, ἐπὶ δὲ πασῶν τῶν διαστολῶν ἐκλογῆς οὔσης περὶ τὴν γαμουμέ-
νην ἐὰν αἱρῶται ἔχειν τὰ προκείμενα ἐν φερνῇ χρυσία ἄγοντα τὴν
αὐτὴν ὁλκὴν ἢ τὴν ἴσην συντίμησιν τῆς πράξεως γινομένης τῇ γαμου-
60 μένῃ καὶ τοῖς αὐτῆς ἔκ τε τοῦ γαμοῦντος καὶ ἐκ τῶν ὑπαρχόντων
αὐτῷ πάντων καθότι πρὸς ἀλλήλους συνεχώρησαν. Γνωστὴρ ἀμφοτέ-
ρων (2. Hand) Διογένης Ἱέρακος γραμματεὺς ἀπὸ τῆς αὐτῆς πόλεως
ἐν ἀγυιᾷ τῇ αὐτῇ ...

16. Klage gegen eine Frau.

O. P. II 282; Mitteis-Wilcken II 2, 117.

Ἀλεξάνδρωι στρατηγῷ
παρὰ Τρύφωνος τοῦ Διο-
νυσίου τῶν ἀπ᾽ Ὀξυρύγ-
χων πόλεως. συνεβίω-
5 σα Δημητροῦτι Ἡρακλεί-
δου καὶ ἐγὼ μὲν οὖν ἐ-
πεχορήγησα αὐτῇ τὰ ἑ-
ξῆς καὶ ὑπὲρ δύναμιν.
ἡ δὲ ἀλλότρια φρονήσα-
10 σα τῆς κοινῆς συμβιώ-

σεως κατὰ πέρας ἐξῆ-
λθε καὶ ἀπηνέγκαντο
τὰ ἡμέτερα ὧν τὸ κα-
θ᾽ ἓν ὑπόκειται. διὸ ἀξιῶ
15 ἀχθῆναι ταύτην ἐπὶ σὲ
ὅπως τύχῃ ὧν προσή-
κει καὶ ἀποδῷ μοι τὰ
ἡμέτερα. τῶν μὲν γὰρ
ἄλλων τῶν ὄντων
20 μοι πρὸς αὐτὴν ἀνθόξο-
μαι καὶ ἀνθέξομαι. εὐτύχ(ει).
ἔστι δὲ τῶν ὑφειρη(μένων)
[ἱμάτιον?] φαιὸν ἄξιον (δραχμῶν) μ
. . . .

17. Ehescheidung.

O. P. II 266; Mitteis-Wilcken II 2, 292.

Ἔτους ἑκκαιδεκάτου Αὐτοκράτορος Καίσαρος Δομιτιανοῦ Σεβαστοῦ
Γερμανικοῦ, μη(νὸς) Γερμανικοῦ ἐν Ὀξ(υρύγχων) πόλ(ει) τῆς Θηβαΐδος.
ὁμολογεῖ Θαῆσις Θώνιος τοῦ Ἀμιθώνιος μητρὸ Σινθεῦ-
τος μετὰ κυρίου τοῦ πατρῴου Ὀννώφριος Ὀννώφριος τοῦ Παμ-
5 μένους μητρὸς Ταarθώνιος τῷ γενομένῳ αὐτῆς ἀνδρὶ
Πετοσαράπι Θομπεκύσιος τοῦ Σαραπίωνος μητρὸ Σινθώ-
νιος, πάντες ἀπ᾽ Ὀξυρύγχων πόλεως, ἐν ἀγυιᾷ, ἀπέχειν
παρ᾽ αὐτοῦ ἀργυρίου Σεβαστοῦ νομίσματος δραχμὰς τετρα-
κοσίας κεφαλαίου ἃς προσηνέγκατο αὐτῷ ἐφ᾽ ἑαυτῇ ἐν φερνῇ
10 μετεγγύου τῆς μητρὸς αὐτοῦ Σινθώνιος Πετοσαράπιος τοῦ
. βι . . . . κατὰ συνγραφὴν συνοικισίου διὰ τοῦ ἐν Ὀξυρύγχων
πόλει ἀγορανομίου ταῖς ἐπαγομέναις τοῦ τεσσαρασκαιδε-
κάτου ἔτους Αὐτοκράτορος Καίσαρος Δομιτιανοῦ Σεβαστοῦ
Γερμανικοῦ, ἧς τὴν ἐπίφορον αὐτόθεν ἀναδεδωκέναι αὐτῷ
15 κεχιασμένην εἰς ἀκύρωσιν ἕνεκα τοῦ ἀναζυγὴν τοῦ γάμου
γενέσθαι, καὶ μὴ ἐγκαλεῖν αὐτῷ μηδὲ ἐγκαλέσειν μηδὲ ἐπε-
λεύσεσθαι μητὲ περὶ τῶν προκειμένων μηδὲ περὶ παρα-
φέρνων . . . . . . ο ἀπεσχηκέναι μηδὲ περὶ ἄλλου μηδε-
νὸς πράγματος μέχρι τῆς ἐνεστώσης ἡμέρας. καὶ αὐτὸς δὲ
20 ὁ Πετοσάραπις ὁμολογεῖ ἐν ἀγυιᾷ τῇ αὐτῇ μὴ ἐνκαλεῖν
μηδὲ ἐνκαλέσειν μηδὲ ἐπελεύσεσθαι τῇ Θαήσει
μηδὲ τοῖς παρ᾽ αὐτῆς περὶ μηδενὸς ἁπλῶς μέχρι τῆς
ἐνεστώσης ἡμέρας . . . .

18. Streit um den Besitz eines Kindes.

O. P. I 37; Mitteis-Wilcken II 2, 79.

Col. I.

Ἐξ ὑπομνηματισμῶν Τιβερίου Κλαυδίου Πασίωνος στρατη(γοῦ).
(ἔτους) ἐνάτου Τιβερίου Κλαυδίου Καίσαρος Σεβαστοῦ Γερμανικοῦ

Αὐτοκράτορος, Φαρμοῦθι γ̄. ἐπὶ τοῦ βήματος
Πεσοῦρις πρὸς Σαραεῦν. Ἀριστοκλῆς ῥήτωρ
5 ὑπὲρ Πεσούριος· "Πεσοῦρις, ὑπὲρ οὗ λέγω, ζ (ἔτους)
Τιβερίου Κλαυδίου Καίσαρος τοῦ Κυρίου ἀνεῖλεν
ἀπὸ κοπρίας ἀρρενικὸν σωμάτιον ὄνομα Ἡρα-
κλᾶν. τοῦτο ἐνεχείρισεν τῆι ἀντιδίκωι. ἐγένε-
το ἐνθάδε ἡ τροφεῖτις εἰς υἱὸν τοῦ Πεσούριος.
10 τοῦ πρώτου ἐνιαυτοῦ ἀπέλαβεν τὰ τροφεῖα.
ἐνέστηι ἡ προθεσμία τοῦ δευτέρου ἐνιαυτοῦ,
καὶ πάλιν ἀπέλαβεν. ὅτι δὲ ταῦτα ἀληθῆι λέγωι,
ἔστιν γράμματα αὐτῆς δι' ὧν ὁμολογεῖ εἰλη-
φέναι. λειμανχουμένου τοῦ σωματίου ἀπέ-
15 σπασεν ὁ Πεσοῦρις. μετὰ ταῦτα καιρὸν εὑροῦσα
εἰσεπήδησεν εἰς τὴν τοῦ ἡμετέρου οἰκίαν
καὶ τὸ σωμάτιον ἀφήρπασεν καὶ βούλεται ὀνό-
ματι ἐλευθέρου τὸ σωμάτιον ἀπενέγκασ-
θαι. ἔχωι πρῶτον γράμμα τῆς τροφείτιδος,
20 ἔχωι δεύτερον τῶν τροφείων τὴν ἀποχήν.
ἀξιῶι ταῦτα φυλαχθῆναι." Σαραεῦς·
"ἀπεγαλάκτισά μου τὸ παιδίον, καὶ τούτων
σωμάτιόν μοι ἐνεχειρίσθηι. ἔλαβον παρ' αὐ-
τῶν τοὺς πάντας ὀκτῶι στατῆρας. μετὰ
25 ταῦτα ἐτελεύτησεν τὸ σωμάτιον β' στα-
τήρων περιόντων. νῦν βούλονται τὸ

Col. II.

ἴδιον μου τέκνον ἀποσπάσαι." Θέων·
"γράμματα τοῦ σωματίου ἔχομεν."
ὁ στρατηγός· "ἐπεὶ ἐκ τῆς ὄψεως φαίνεται τῆς
Σαραεῦτος εἶναι τὸ παιδίον, ἐὰν χιρογραφήσηι
5 αὐτῆι τε καὶ ὁ ἀνὴρ αὐτῆς ἐκεῖνο τὸ ἐνχει-
ρισθὲν αὐτῆι σωμάτιον ὑπὸ τοῦ Πεσούριος
τετελευτηκέναι, φαίνεταί μοι κατὰ τὰ ὑπὸ
τοῦ κυρίου ἡγεμόνος κριθέντα ἀποδοῦσαν
αὐτὴν ὃ εἴληφεν ἀργύριον ἔχειν τὸ ἴδιον
10 τέκνον."

19. In derselben Sache.

O. P. I 38.

Γναίωι Οὐεργελίωι Καπίτωνι
παρὰ Τρύφωνος Διονυσίου τῶν ἀπ' Ὀξυρύγ-

χων πόλεως. Σῦρος Σύρου ἐνεχείρισεν
τῇ γυναικί μου Σαραεῦτι Ἀπίωνος τῶι ζ (ἔτει)
5 Τιβερίου Κλαυδίου Καίσαρος Σεβαστοῦ Γερμανικοῦ
Αὐτοκράτορος δι' ἐγγύου ἐμοῦ ὃ ἀνείρηται ἀπὸ
κοπρίας ἀρσενικὸν σωμάτιον, ᾧ ὄνομα Ἡρακλᾶς,
ὥστε τροφεῦσαι. τοῦ οὖν σωματίου τετελευτηκό-
τος, καὶ τοῦ Σύρου ἐπικεχειρηκότος ἀποσπάσαι
10 εἰς δουλαγωγίαν τὸν ἀφήλικά μου υἱὸν Ἀπίωνα,
καθὰ παρῆλθον ἐπὶ τοῦ γενομένου τοῦ νομοῦ
στρατηγοῦ Πασίωνος, ὑφ' οὗ καὶ ἀποκατεστάθη μοι
ὁ υἱὸς Ἀπίων ἀκολούθως τοῖς ὑπὸ σοῦ τοῦ εὐερ-
γέτου προστεταγμένοις καὶ τοῖς γεγονόσι ὑπὸ τοῦ
15 Πασίωνος ὑπομνηματισμοῖς. τοῦ δὲ Σύρου
μὴ βουλομένου ἐνμεῖναι τοῖς κεκριμένοις
ἀλλὰ καὶ καταργοῦντός με χειρότεχνον ὄντα,
ἐπὶ σὲ φεύγω, τὸν σωτῆρα, τῶν δικαίων τυ-
χεῖν. εὐτύχ(ει).

20. Schüleraufsatz.

O. P. I 124.

Ἄδραστος ὁ τοῦ Ἄργους βασιλεὺς
γήμας ἐκ τῶν ὁμοίων ἔσχεν
θυγατέρας δύο, Δηιπύλην καὶ
Αἰγιαλίαν, αἵτινες οὐκ ἄμορ-
5 φοι τυγχάνουσαι περὶ τὸν γάμον
ἐδυστύχουν, μηδενὸς αὐτὰς μνω-
μένου. πέμψας τοιγαροῦν ὁ Ἄδραστος
εἰς Δελφοὺς ἐπυνθάνετο τὴν αἰτίαν.

21. Stück einer griechischen Grammatik.

O. P. III 469.

⟨ἡ δὲ δευτέρα τῶν περισπωμένων⟩
⟨ῥημάτων συζυγία ἐκφέρεται κα-⟩
⟨τὰ τὸν μὲν ἐνεστῶτα χρόνον⟩
⟨κατὰ τὸ μὲν πρῶτον πρόσωπον⟩
v ⟨διὰ τοῦ ω, ἐπὶ δευτέρου καὶ⟩ τρίτου
1 τοῦ προσώπου διὰ τῆς αι δι-
φθόγγου, προσγραφομένου
δὲ τοῦ ι μὴ συνεκφωνουμέ-

νου δέ, οἷον γελῶ γελᾷς γε-
5 λᾷ. οἱ μέντοιγε Αἰολεῖς προσ-
φωνοῦσι γελεες καὶ βοες λέγον-
τες. κατὰ δὲ τὸν παρατατικὸν
κατὰ μὲν τὸ πρῶτον πρόσωπον
διὰ τοῦ ων ἐκφέρεται, ἐπὶ δευ-
10 τέρου καὶ τρίτου προσώπου διὰ
τοῦ α, οἷον ἐγέλων ἐγέλας ἐγέλα.
ἡ δὲ τρίτη τῶν περισπωμένων
ῥημάτων συζυγία ἐκφέρεται κα-
τὰ τὸν ἐνεστῶτα χρόνον ἐπὶ δευ-
15 τέρου καὶ τρίτου προσώπου διὰ
τῆς οι διφθόγγου, οἷον χρυσῶ
⟨χρυσοῖς χρυσοῖ κατὰ δε τὸν παρα-⟩
⟨τατικὸν διὰ τῆς ου διφθόγγου, οἷον⟩
⟨ἐχρύσουν ἐχρύσους ἐχρύσου⟩ κτλ.

22. Vertrag mit einem Tachygraphielehrer.

O. P. IV 724; Mitteis-Wilcken I 2, 140.

Πανεχώτης ὁ καὶ Πανάρης τῶν κεκοσμητευκότων τῆς Ὀξυρυγχείτων
πόλεως διὰ Γεμέλλου φίλου Ἀπολλωνίῳ σημιογράφῳ χαίρειν. Συν-
έστησά σοι
Χαιράμμωνα δοῦλον πρὸς μάθησιν σημείων ὧν ἐπίσταται ὁ υἱός σου
Διονύσιος ἐπὶ χρόνον ἔτη δύο ἀπὸ τοῦ ἐνεστῶτος μηνὸς Φαμενὼθ τοῦ
5 ὀκτωκαιδεκάτου ἔτους Ἀντωνίνου Καίσαρος τοῦ κυρίου μισθοῦ τοῦ
συμπεφω-
νημένου πρὸς ἀλλήλους ἀργυρίου δραχμῶν ἑκατὸν εἴκοσι χωρὶς ἑορτι-
κῶν, ἐξ ὧν ἔσχες τὴν πρώτην δόσιν ἐν δραχμαῖς τεσσαράκοντα, τὴν δὲ
δευτέραν λήψῃ τοῦ παιδὸς ἀνειληφότος τὸ κομεντάριον ὅλον ἐν δρα-
χμαῖς τεσσαράκοντα, τὴν δὲ τρίτην λήψομαι ἐπὶ τέλει τοῦ χρόνου τοῦ
10 παιδὸς ἐκ παντὸς λόγου πεζοῦ γράφοντος καὶ ἀναγεινώσκοντος
ἀμέμπτως
τὰς δὲ λοιπὰς δραχμὰς τεσσαράκοντα. Ἐὰν δὲ ἐντὸς τοῦ χρόνου αὐτὸν
ἀπαρτίσῃς, οὐκ ἐκδέξομαι τὴν προκειμένην προθεσμίαν, οὐκ ἐξόντος
μοι ἐντὸς τοῦ χρόνου τὸν παῖδα ἀποσπᾶν. Παραμενεῖ δέ σοι μετὰ
τὸν χρόνον ὅσας
ἐὰν ἀργήσῃ ἡμέρας ἢ μῆνας. Ἔτους ιη Αὐτοκράτορος Καίσαρος Τίτου
Αἰλίου Ἁδριανοῦ
15 Ἀντωνείνου Σεβαστοῦ Εὐσεβοῦς Φαμενὼθ ε.

23. Lehrlingsvertrag mit einem Weber.

O. P. II 275; Mitteis-Wilcken I 2, 324.

Ὁμολογοῦσιν ἀλλήλοις Τρύφων Διονυσίου
τοῦ Τρύφωνος μητρὸς Θαμούνιος τῆς
Ὀννώφριος καὶ Πτολεμαῖος Παυσιρίωνος
τοῦ Πτολεμαίου μητρὸς Ὠφελοῦτος τῆς
5 Θέωνος γέρδιος ἀμφότεροι τῶν ἀπ' Ὀξυ-
ρύγχων πόλεως, ὁ μὲν Τρύφων ἐγδεδόσ-
θαι τῷ Πτολεμαίῳ τὸν ἑαυτοῦ υἱὸν Θοῶ-
νιν μητρὸς Σαραεῦτος τῆς Ἀπίωνος οὐδέ-
πω ὄντα τῶν ἐτῶν ἐπὶ χρόνον ἐνιαυτὸν
10 ἕνα ἀπὸ τῆς ἐνεστώσης ἡμέρας, διακονοῦν-
τα καὶ ποιοῦντα πάντα τὰ ἐπιτασσόμε-
να αὐτῷ ὑπὸ τοῦ Πτολεμαίου κατὰ τὴν
γερδιακὴν τέχνην πᾶσαν ὡς καὶ αὐτὸς
ἐπίσταται, τοῦ παιδὸς τρεφομένου καὶ ἱμα-
15 τισζομένου ἐπὶ τὸν ὅλον χρόνον ὑπὸ
τοῦ πατρὸς Τρύφωνος πρὸς ὃν καὶ εἶναι
τὰ δημόσια πάντα τοῦ παιδός, ἐφ' ᾧ
δώσει αὐτῷ κατὰ μῆνα ὁ Πτολεμαῖος
εἰς λόγον διατροφῆς δραχμὰς πέντε
20 καὶ ἐπὶ συνκλεισμῷ τοῦ ὅλου χρόνου
εἰς λόγον ἱματισμοῦ δραχμὰς δέκα δύο,
οὐκ ἐξόντος τῷ Τρύφωνι ἀποσπᾶν τὸν
παῖδα ἀπὸ τοῦ Πτολεμαίου μέχρι τοῦ-
τον χρόνον πληροθῆναι, ὅσας δ' ἐὰν ἐν
25 τούτῳ ἀτακτήσῃ ἡμέρας ἐπὶ τὰς
ἴσας αὐτὸν παρέξεται μετὰ τὸν χρό-
νον ἢ ἀποτεισάτω ἑκάστης ἡμέρας
ἀργυρίου δραχμὴν μίαν, τοῦ δ' ἀποσπασ-
θῆναι ἐντὸς τοῦ χρόνου ἐπίτειμον
30 δραχμὰς ἑκατὸν καὶ εἰς τὸ δημόσιον
τὰς ἴσας. Ἐὰν δὲ καὶ αὐτὸς ὁ Πτολεμαῖος
μὴ ἐγδιδάξῃ τὸν παῖδα, ἔνοχος
ἔστω τοῖς ἴσοις ἐπιτειμίοις. Κυρία
ἡ διδασκαλική. Ἔτους ιγ Νέρωνος Κλαυδίου
35 Καίσαρος Σεβαστοῦ Γερμανικοῦ
Αὐτοκράτορος μηνὸς Σεβαστοῦ κα.
(2. Hand.) Πτολεμαῖος Παυσιρίωνος
τοῦ Πτολεμαίου μητρὸς Ὠφε-

λοῦτος τῆς Θέωνος ἕκαστα
40 ποιήσω ἐν τῷ ἐνιαυτῷ ἑνί.
Ζωίλος Ὥρου τοῦ Ζωίλου μητρὸς
Διεῦτος τῆς Σωκέως ἔγραψα
ὑπὲρ αὐτοῦ μὴ ἰδότος γράμματα.
Ἔτους τρισκαιδεκάτου
45 Νέρωνος Κλαυδίου Καίσαρος
Σεβαστοῦ Γερμανικοῦ
Αὐτοκράτορος μηνὸς Σεβαστοῦ κα.

24. Gesuch um Bestellung eines Vormunds.

O. P. I 56; Mitteis-Wilcken II 2, 320.

Μαξίμῳ ἱερεῖ ἐνάρχῳ ἐξηγητῇ
βουλευτῇ
παρὰ Ταβησάμμωνος Ἀμμω-
νίου τοῦ καὶ Κασσίου ἀπ' Ὀξυρύγχων
5 πόλεως, μητρὸς Διοφαντίδος
ἀστῆς. Δανειζομένη εἰς ἀναγ-
καίας μου χρείας ἀργύριον ἔντο-
κον ἐν δραχμαῖς ἑξακισχειλίαις
ἐπ' ἀσφαλείᾳ τοῦ ὑπάρχοντός μοι
10 περὶ κώμην Οἰναρὺ ἀμπελικοῦ
κτήματος καὶ ἀνηκόντων αὐτῷ
πάντων, αἰτοῦμαι διὰ σοῦ, ἐπιστα-
μένη γράμματα τ . . . ον διαδεχό-
μενον τὴν στρατηγίαν βασιλι-
15 κὸν γραμματέα μὴ ἐνδημεῖν,
ἐπιγραφῆναί μου κύριον πρὸς
μόνην ταύτην τὴν οἰκονομίαν
Ἀμοιτᾶν Πλουτίωνος μητρὸς
Δημητροῦτος ἀπὸ τῆς προκειμέ-
20 νης Ὀξυρύγχων πόλεως, παρόν-
τα καὶ εὐδοκοῦντα. Διέγραψα δὲ
τὸ ὡρισμένον τῆς αἰτήσεως τέ-
λος. Ἔτους κʹ Αὐτοκρατόρων
Καισάρων Λουκίου Σεπτιμίου
25 Σεουήρου Εὐσεβοῦς Περτίνακος
Ἀραβικοῦ Ἀδριανικοῦ Παρθικοῦ
Μεγίστου καὶ Μάρκου Αὐρηλίου
Ἀντωνίνου Εὐσεβοῦς Σεβαστῶν

καὶ Πουβλίου Σεπτιμίου Γέτα
30 Καίσαρος Σεβαστοῦ, Φαῶφι λ.
(2. Hand.) Ταβησάμμων Ἀμμωνίου ἐπι-
δέδωκα. (3. Hand.) Ἀμοιτᾶς Πλουτίω-
νος εὐδοκῶ.

25. Amtliche Todesanzeige.

O. P. I 79.

Ἰουλίῳ κωμογρ(αμματεῖ) Σέσφθα
παρὰ Κεφαλᾶτος Λεοντᾶτος
μητρὸς Πλουτάρχης ἀπὸ τῆ-
ς αὐ(τῆς) Σέσφθα. ὁ σημαινόμε-
5 νός μου υἱὸς Πανεχώτης
Κεφαλᾶτος τοῦ Λεοντᾶτος
μητρὸς Ἡραΐδος ἀπὸ τῆς αὐτῆς
Σέσφθα ἄτεχνος ὢν ἐτε-
λεύτησεν τῷ ἐνεστῶτι ἔτ-
10 ι μηνὶ Ἀθύρ. διὸ ἐπιδίδω-
μι τὸ βιβλείδιον ἀξιῶν τα-
γῆναι αὐτὸν ἐν τῇ τῶν τε-
τελευτηκότων τάξει ὥ-
ς καθήκει, καὶ ὀμνύω
15 Αὐτοκράτορα Καίσαρα Μάρκον
Αὐρήλιον Κόμοδον Ἀντωνῖνον
Σεβαστὸν ἀληθῆ εἶναι τὰ προ-
γεγραμμένα . . . . .

26. Testamentseröffnung.

O. P. III 494; Mitteis-Wilcken II 2, 305.

Ἀντίγραφον. Ἔτους ἐννεακαιδεκάτου Αὐτοκράτορος Καίσαρος Τίτου
Αἰλίου Ἁδριανοῦ Ἀντωνίνου Σεβαστοῦ Εὐσεβοῦς μηνὸς Γερμανικείου λʹ,
ἐν Ὀξυρύγχων πόλει τῆς Θηβαΐδος, ἀγαθῇ τύχῃ. Τάδε διεθέμην νοῶν
καὶ φρονῶν Ἀκουσίλαος Δείου τοῦ Διονυσίου τοῦ καὶ Ἀκουσιλάου
5 μητρὸς Διονυσίας Θέωνος ἀπ' Ὀξυρύγχων πόλεως ἐν ἀγυιᾷ. Ἐφ' ὃν
μὲν περίειμι χρόνον ἔχειν με τὴν τῶν ἰδίων ἐξουσίαν ὃ ἐὰν βούλωμαι
ἐπιτελεῖν καὶ μεταδιατίθεσθαι καὶ ἀκυροῦν τὴν διαθήκην ταύτην, ὃ δ' ἂν
ἐπιτελέσω κύριον ὑπάρχειν. Ἐὰν δὲ ἐπὶ ταύτῃ τῇ διαθήκῃ τελευτήσω,
ἐλεύθερα ἀφίημι ὑπὸ Δία Γῆν Ἥλιον κατ' εὔνοιαν καὶ φιλοστοργίαν
10 δοῦλά μου σώματα Ψεναμοῦνιν τὸν καὶ Ἀμμώνιον καὶ Ἑρμᾶν καὶ Ἀπολ-
λωνοῦν τὴν καὶ Δημητρίαν καὶ θυγατέρα αὐτῆς Διογενίδα καὶ ἄλλην
μου δούλην Διογενίδα, καταλείπω δὲ τῇ γυναικί μου οὔσῃ μου καὶ
ἀνεψιᾷ Ἀριστοῦτι τῇ καὶ Ἀπολλωναρίῳ Ἡρακλείδου τοῦ Διονυσίου
τοῦ καὶ Ἀκουσιλάου μητρὸς Ἡραΐδος Ἀλεξάνδρου εὐνοούσῃ μοι καὶ
15 πᾶσαν πίστιν μοι ἐνδεικνυμένῃ ἃ ἐὰν ἀπολίπω ἔπιπλα καὶ σκεύη καὶ
χρυσία καὶ ἱμάτια καὶ κόσμα καὶ πυρὸν καὶ ὄσπρεα καὶ γενήματα καὶ
ἐνδομενείαν πᾶσαν καὶ ὀφειλήματα ἔνγραφα καὶ ἄγραφα, κληρονόμον
δὲ ἀπολείπω τὸν γεγονότα μοι ἐκ τῆς προγεγραμμένης μου γυναικὸς
Ἀριστοῦτος τῆς καὶ Ἀπολλωναρίου υἱὸν Δεῖον ἐὰν ζῇ, εἰ δὲ μή, τὰ

20 τούτου τέκνα, ὧν ἐὰν ἀπολίπω ὑπαρχόντων καὶ ἑτέρων δούλων σωμάτων
καὶ τῶν ἀπὸ τοῦ νῦν ἐσομένων ἐκ τῶν προγεγραμμένων θηλειῶν δούλων
ἐκγόνων, ὧν πάντων τὴν χρῆσιν καὶ προσόδους πάσας μετὰ τὰ δημόσια
ἕξει ἡ αὐτὴ γυνή μου Ἀριστοῦς ἡ καὶ Ἀπολλωνάριον ἐπὶ τὸν τῆς ζωῆς
αὐτῆς χρόνον καὶ τὴν δουλείαν καὶ ἀποφορὰς τῶν μετὰ ... τελευτήν
25 μου ἐλευθερουμένων δούλων σωμάτων. Ἡ δ᾽ αὐτὴ γυνή μου χορηγήσει
τῷ υἱῷ μου Δείῳ εἰς διατροφὴν αὐτοῦ καὶ τὴν ἄλλην δαπάνην κατὰ
μῆνα ἐν Ὀξυρύγχων πόλει πυροῦ μέτρῳ ἐξωδιαστικῷ .... ἀρτάβας δύο
καὶ δραχμὰς ἑξήκοντα καὶ ὑπὲρ ἱματισμοῦ κατ᾽ ἔτος δραχμὰς διακοσίας.
τῇ δ᾽ αὐτῇ γυναικὶ Ἀριστοῦτι τῇ καὶ Ἀπολλωναρίῳ ἐξέστω δι᾽ αὐτῆς
30 πωλεῖν καὶ ὑποτίθεσθαι ἃ ἐὰν αἱρῆται ἀφ᾽ ὧν ἐὰν ἀπολίπω τῷ υἱῷ μου
Δείῳ ὑπαρχόντων καὶ σωμάτων καὶ καταχρᾶσθαι εἰς τὸ ἴδιον χ⟨ρέο⟩ς
τοῖς ἐμπεσουμένοις ἤτοι ἐκ πράσεως καὶ ἐξ ὑποθήκης ἀργυρίοις. Ἡ
δ᾽ αὐτὴ γυνή μου Ἀριστοῦς ἡ καὶ Ἀπολλωνάριον ἀποδώσει πάντα ἃ
ἐὰν φανῶ ὀφείλων, δώσει δὲ ἡ γυνή μου καὶ μετὰ τελευτὴν αὐτῆς ὁ
35 υἱός μου Δεῖος τοῖς δούλοις μου καὶ ἀπελευθέροις εἰς εὐωχίαν αὐτῶν
ἣν ποιήσονται πλησίον τοῦ τάφου μου κατ᾽ ἔτος τῇ γενεθλίᾳ μου ἐφ ᾧ
διέπειν ἀργυρίου δραχμὰς ἑκατόν. Ὅσα δ᾽ ἂν ὑπὸ τὸ ἐκδόσιμον τῆς
διαθήκης γράψω ἤτοι ἀφαιρούμενός τι ἢ προσδιατάσσων. ἢ ἑτέροις
χαριζόμενος ἢ καὶ ἄλλο τι βουλόμενος, καὶ αὐτὰ ἔστω κύρια ὡς δ᾽ εἶναι
40 τῇ διαθήκῃ ἐνγεγραμμένα, παρὰ δὲ ταῦτα μὴ οὔσης μηδενὶ τῷ καθόλου
ἐξουσίας παραβαίνειν, τόν δὲ παραβησόμενον ἐκτίνειν τῷ ἐμμένοντι
τό τε βλάβος καὶ ἐπίτειμον ἀργυρίου τάλαντα δύο καὶ εἰς τὸ δημόσιον
τὰ ἴσα καὶ μηδὲν ἧσσον μένειν κύρια τὰ προκείμενα. Ἡ διαθήκη
κυρία. Ἀκουσίλαος Δείου ὁ προγεγραμμένος πεποίημαι τὴν διαθήκην
45 ἧς ὅλον τὸ σῶμά ἐστίν μου ἰδιόγραφον ἐπὶ πᾶσι τοῖς προκειμένοις,
καὶ εἰμὶ ἐτῶν μη οὐλὴ ποδὶ δεξιῷ καὶ ἔστιν μου ἡ σφραγὶς Θώνιος.
(2. Hand) Δίδυμος Ὀννώφριος τοῦ καὶ Χαιρήμονος Ἡρώδου ἀπ᾽ Ὀξυ-
ρύγχων πόλεως ἶς τῶν μαρτυρησάντων τῇ προκιμένῃ διαθήκῃ ἐγνώρισα
τὴν ἰδίαν μου σφραγῖδα οὖσαν γλύμματος Ἑρμοῦ καὶ ἐσφράγισα τῇ
50 αὐτῇ σφραγῖδι. (3. Hand) Ἀσκληπιάδης Εὐδαίμονος τοῦ Ἀσκληπιάδου
ἀπ᾽ Ὀξυρύγχων πόλεως ἕτερος τῶν μαρτυρησάντων τῇ προκειμένῃ δια-
θήκῃ ἐγνώρισα τὴν ἰδίαν μου σφραγεῖδα οὖσαν γλύμματος Σαράπιδος
καὶ ἐσφράγισα τῇ αὐτῇ σφραγεῖδι. (4. Hand) Δίδυμος Διδύμου τοῦ
Ἐνθέσμου ἀγορανόμος τῆς Ὀξυρυγχιτῶν πόλεως ἕτερος τῶν μαρτυρη-
55 σάντων τῇ αὐτῇ διαθήκῃ ἐγνώρισα τὴν ἰδίαν μου σφραγῖδα οὖσαν γλύμ-
ματος Ἀπόλλωνος καὶ ἐσφράγισα τῇ αὐτῇ σφραγῖδι. (5. Hand) Ἀσκλη-
πιάδης Ἀσκληπιάδου τοῦ Παυσιρίωνος ἀπὸ τῆς αὐτῆς πόλεως ἕτερος
τῶν μαρτυρησάντων τῇ αὐτῇ διαθήκῃ ἐγνώρισα τὴν ἰδίαν μου σφρα-
γεῖδα οὖσαν γλύμματος Ἡρακλέους καὶ ἐσφράγισα τῇ αὐτῇ σφραγῖδα.
60 (6. Hand) .... ετέθη ς ἔτους Ἀθύρ.

III. Kreis.

27. Leichenfund.

O. P. I 51.

Κλαυδιανῶι στρατηγῶι
π(αρὰ) Διονύσο(υ) Ἀπολλοδώρου
Διονυσίου ἀπ᾽ Ὀξυρύγχων
πόλεως δημοσίου ἰατροῦ.
5 τῇ ἐνεστώσῃ ἡμέρᾳ ἐπε-
τράπην ὑπὸ σοῦ διὰ Ἡρακλείδου
ὑπηρέτου ἐφιδεῖν σῶμα
νεκρὸν ἀπηρτημένον
Ἱέρακος καὶ προσφωνῆσαί σοι
10 ἣν ἐὰν καταλάβωμαι περὶ
αὐτὸ διάθεσιν. ἐπιδὼν οὖν
τοῦτο ἐπὶ παρόντι τῷ αὐτῷ
ὑπηρέτῃ ἐν οἰκίᾳ Ἐπαγαθοῦ
..... υμερου Σαραπίωνος
15 ἐπ᾽ ἀμφόδου Πλατείας εὗρον
αὐτὸ ἀπηρτημένον βρό-
χῳ· διὸ προσφωνῶ. (ἔτους) ιδ
Αὐτοκράτορος Καίσαρος Μάρκου
Αὐρηλίου Ἀντωνίνου Σεβαστοῦ
Ἀρμενιακοῦ
20 Μηδικοῦ Παρθικοῦ Γερμανικοῦ
Μεγίστου, Θὼθ γ̄ (2. Hand) διὸ
προσφω(νῶ).

28. Verordnung die Amtskassen betreffend.

O. P. I 58; Mitteis-Wilcken I 2, 378.

Σερβαῖος Ἀφρικανὸς στρατηγοῖς ἐπι-
στρατηγίας ἑπτὰ νομῶν καὶ Ἀρσινοίτου
χαίρειν.
ἀπ᾽ αὐτῶν τῶν λόγων ἐφάνη ὡς
5 πολλοὶ βουλόμενοι τὰς ταμιακὰς οὐσί-
ας κατεστείειν ὀνόματα ἑαυτοῖς ἐξευ-
ρόντες οἱ μὲν χειριστῶν οἱ δὲ γραμ-
ματέων οἱ δὲ φροντιστῶν, ὄφελος
μὲν οὐδὲν περιποιοῦσιν τῷ ταμείῳ
10 τὰ δὲ περιγεινόμενα κατεστείουσιν·
δι᾽ ὅπερ ἐδέησεν ἐπισταλῆναι ὑμεῖν
ἵνα ἑκάστης οὐσίας ἕνα τινὰ φρον-
τιστὴν ἀξιόχρεων κινδύνῳ ἑκάστης
βουλῆς αἱρεθῆναι ποιήσητε, τὰ δὲ
15 λοιπὰ ὀνόματα παύσητε, δυναμένου
τοῦ αἱρουμένου φροντιστοῦ δύο
ἢ τό γε πλεῖστον τρεῖς προσαιρεῖν
τοὺς ἐξυπηρετησομένους αὐτῷ

πρὸς τὴν φροντίδα. οὕτως αὐτά τε
20 τὰ μάταια ἀναλώματα παύσεται
καὶ αἱ ταμιακαὶ οὐσίαι τῆς προσηκού-
σης ἐπιμελείας τεύξονται. δηλα-
δὴ δὲ τοιούτους αἱρεθῆναι ποιήσει-
τε τούτοις φροντισταῖς ὑπηρετη-
25 σομένους, οἳ καὶ βασάνοις ὑποκείσον-
ται. ἔρρωσθε.

29. Befreiung vom Militärdienst.

O. P. I 39; Mitteis-Wilcken I 2, 456.

Ἀντίγραφον ἀπολύσεως.
ἔτους ιβ Τιβερίου Κλαυδίου
Καίσαρος Σεβαστοῦ Γερμανικοῦ
Αὐτοκράτορος, Φαρμοῦθ(ι) κθ, Σεβαστῇ.
5 Ἀπελύθη ὑπὸ Γναίου Οὐεργιλίου
Καπίτωνος τοῦ ἡγεμόνος
ἀμφοτέρων
Τρύφων Διονυσίου γέρδιος
ὑποκεχυμένος ὀλίγον βλέπων
10 τῶν ἀπ' Ὀξυρύγχων τῆς μητροπόλ(εως).
ἐπεκρίθ(η) ἐν Ἀλεξανδ(ρείᾳ).
ἐπεκρίθ(η) ἐν Ἀλεξανδ(ρείᾳ).
ἐπικέκριται
ἐν Ἀλεξανδρείᾳ.

30. Legitimation eines Veteranen.

O. P. VII 1023.

Πόπλιος Πετρώνιος
Κέλερ ἀπολύσιμος
στρατιώτης, πρώτως
παρεπιδημήσας, δηλω-
5 θεὶς ἐπικεκρίσθαι
ὑπὸ Κοείντου Ῥαμ-
μίου Μαρτιάλις
τῷ α (ἔτει) Ἁδριανοῦ
τοῦ κυρίου.

31. Haft.

O. P. I 65.

Π(αρὰ) τοῦ στατίζοντος β(ενε)φ(ικιαρίου)
κωμάρχαις κώμης Τερύθεως. παράδοτε τῷ ἀποσταλέντι ὑπηρέτῃ
. σήμερον
Παχοῦμιν Παχούμις ὃν κατεσχήκατε καὶ κατηνέγκατε ἐν τῇ κώμῃ
ὑμῶν πολίτην ὄντα. εἰ δὲ ἔχετε εὐλογίαν τινὰ πρὸς αὐτὸν
5 ἀνέρχεσθε ἅμα αὐτῷ καὶ λέγετε. ἀλλ' ὅρα μὴ κατάσχητε τὸν ὑπη-
ρέτην. σεση(μείωμαι).

32. Freilassung einer Sklavin.

O. P. I 48.

Χαιρήμων τῶι ἀγορανόμωι
χαίρειν. δὸς ἐλευθέρωσιν Εὐ-
φροσύνης δούλης ὡς (ἐτῶν) λε,
οἰκογενῆ ἐκ δούλης Δημη-
5 τροῦτος, τῇ ἐλευθερουμένῃ
ὑπὸ Δία Γῆν Ἥλιον ἐπὶ λύτροι(ς)
ὑπὸ τῆς ἑαυτῆς δεσπότιδος
Ἀλοίνης τῆς Κώμονος
τοῦ Διονυσίου τῶν ἀπ' Ὀξυρύγ-
10 χων πόλεως, μετὰ κυρίου
τοῦ τοῦ μετηλλαχότος αὐ-
τῆς γνησίου ἀδελφοῦ Διοσ-
κώρου υἱοῦ Κόμωνος, ἀργυρί-
ου ἐπισήμου δραχμῶν δέ-
15 κα καὶ χαλκοῦ ταλάντων δέ-
κα τρισχιλίων.
ἔρρωσο.
(ἔτους) ς Αὐτοκράτορος Καίσαρος
Δομιτιανοῦ Σεβαστοῦ Γερμανικοῦ,
20 Φαῶφι ιθ.
(von zweiter Hand:) Χαιρή(μων), χρη(μάτισον)
Φαῶ(φι) ιθ
. . . .

33. Beschwerde eines Amtsarztes.

O. P. I 40.

Ἀντίγραφον ὑπομνηματισμοῦ Οὐαλερίου Εὐδαί-
μονος τοῦ ἡγεμονεύσαντος ἔτους . . .
Καίσαρος τοῦ κυρίου Φαμενὼθ ι . . . ἐπερχο-
μένου Ψάσνιος. προσελθόντος Ψάσνιος
5 καὶ εἰπόντος, "ἰατρὸς ὑπάρχων τὴν τέχνην
τούτους αὐτοὺς οἵτινές με εἰς λειτουργίαν
δεδώκασι ἐθεράπευσα", Εὐδαίμων εἶπεν, "τά-
χα κακῶς αὐτοὺς ἐθεράπευσας. δίδαξον τὸ κατα-
τῆκον, εἰ ἰατρὸς εἶ δημοσιεύων ἐπὶ ταριχείᾳ,
10 καὶ ἕξεις τὴν ἀλειτουργησίαν."

34. Erpressung seitens eines Steuereinnehmers.

O. P. II 285.

Τιβερίωι Κλαυδίῳ Πασίωνι στρα-
(τηγῷ)
παρὰ Σαραπίωνος τοῦ Θέωνος
τῶν ἀπ' Ὀξυρύγχων πόλεως
γερδίων λαύρας δρόμου Γυμνα-
5 σίου. Ἀπολλοφάνης γενόμενος
πράκτωρ χιρωναξίου γερ-
δίων τῷ α (ἔτει) Τιβερίου Κλαυ-
δίου
Καίσαρος Σεβαστοῦ Γερμανικοῦ
Αὐτοκράτορος πολλῇ βίᾳ χρώ-
10 μενος ἀφήρπασεν ὃν ἤμην
ἐνδεδυμένος χιτῶνα λεινοῦν
ἄξιον δραχμῶν ὀκτώ, καὶ διέ-
σισέν με ἄλλας δραχμὰς τέσσα-
ρες, καὶ ἀπὸ μηνὸς Νέου Σεβασ-
15 τοῦ ἐνάτου ἔτους Τιβερίου
Κλαυδδίου Καίσαρος Σεβαστοῦ
Γερμανικοῦ Αὐτοκράτορος ἕως
Φαρμοῦθι, μηνῶν ἕξ, κατὰ μῆνα
δραχμὰς δύο, αἱ συναγόμεναι
(δραχμαὶ) κδ.
20 διὸ ἀξιῶ διαλαβεῖν κατ' αὐτοῦ
ὡς ἐάν σοι φαίνηται. εὐτύχει.

35. Schuldschein.

O. P. III 507.

. . . .
Διογένει Σαραπίωνος
ἠγορανομηκότι ἐνάρχῳ γυμνα-
5 σιάρχῳ τῆς Ὀξυρύγχων πόλεως νε-
ωκόρῳ Τύχης χαίρειν. ὁ-
μολογῶ παρειληφέναι παρὰ σοῦ ἀρ-
γυρίου δραχμὰς διακοσίας ἑξήκοντα
κεφαλαίου, αἷς οὐδὲν προσῆκται τόκου

10 δραχμιαίου ἑκάστης μνᾶς τοῦ μη-
νὸς ἑκάστου ἀπὸ τοῦ ὄντος μηνὸς
Φαρμοῦθι. ἀποδώσω δὲ τὸ κεφά-
λαιον σὺν τοῖς τόκοις τῇ τριακάδι
τοῦ Φαμενὼθ τοῦ εἰσιόντος
15 δεκάτου ἔτους Αὐρηλίου Ἀντωνίνου
Καίσαρος τοῦ κυρίου χωρὶς ὑπερθέ-
σεως. εἰ δὲ μή, ἐκτείσω σοι μεθ' ἡ-
μιολίας σὺν τοῖς καὶ τῆς ὑπερχρονεί-
ας ἴσοις δραχμιαίοις τόκοις ἑκάσ-
20 της μνᾶς κατὰ μῆνα, τῆς πράξεως
σοι οὔσης ἔκ τε ἐμοῦ καὶ ἐκ τῶν ὑπαρ-
χόντων μοι πάντων. τὰς δὲ
προκειμένας δραχμὰς διακοσίας
ἑξήκοντα κατατέθειμαι εἰς συν-
25 ωνὴν χόρτου ἀποτεθησομένου
ἐν ᾧ ἔχω ἐν μισθώσει καμηλῶ-
νι Σιμίλεως ἐν τῇ Ὀξυρύγχων πό-
λει, ὅνπερ χόρτον οὐκ ἐξέσται μοι
βαστάξαι οὐδὲ πωλεῖν οὐδὲ ὑποτί-
30 θεσθαι ἄχρι οὗ ἀποδῶ σοι τὸ κεφά-
λαιον καὶ τοὺς τόκους διὰ τὸ ὑπέγγυ-
όν σοι εἶναι. ἐὰν δέ τις κίνδυνος
συμβῇ τοῦ αὐτοῦ χόρτου, οὐδὲν
βλάβος ἐξακολουθήσι σοι διὰ τὸ
35 εἶναι τὸ ἀργύριον σὺν τοῖς τόκοις
ἀκίνδυνον παντὸς κινδύνου. κύρι-
ον τὸ χειρόγραφον δισσὸν γραφὲν
πανταχῇ ἐπιφερόμενον.
(ἔτους) θ Αὐτοκράτορος Καίσαρος
40 Μάρκου Αὐρηλίου Ἀντωνίνου Σεβαστοῦ
Σαρματικοῦ Μηδικοῦ Παρθικοῦ Μεγίστου
Φαρμοῦθι . . .

36. Rückzahlung einer geliehenen Summe.

O. P. I 98.

Χαιρήμων Θέωνος τοῦ Θέωνος μητρὸς Τοτοεῦτος
ἀπ' Ὀξυρύγχων πόλεως Ἀρχίᾳ ἀπελευ-
θέρῳ Ἀμοιτᾶτος Ζωίλου ἀπὸ
5 τῆς αὐτῆς πόλεως χαίρειν. ὁμολογῶ

ἀπέχειν παρὰ σοῦ διὰ τῆς ἐπὶ τοῦ πρὸς
Ὀξυρύγχων πόλει Σαραπείου Ἡρακλεί-
δου καὶ μετόχων τραπέζης ἀργυρίου
δραχμὰς ἑκατὸν ἑξήκοντα ὀκτώ,
10 λοιπὰς ὀφειλομένας μοι ὑπὸ σοῦ ἀφ' ὧν
ἐδάνισά σοι κατὰ χειρόγραφον διὰ τῆς
αὐτῆς τραπέζης τῷ Ἀθὺρ μηνὶ τοῦ
δευτέρου καὶ ἰκοστοῦ ἔτους θεοῦ Ἁδριανοῦ
ὅ ἐστι πρῶτον ἔτος Ἀντωνίνου Καίσαρος
15 τοῦ κυρίου, ἀργυρίου δραχμῶν ἑπτακοσίων
κεφαλαίου ἐν καταβολῇ μηνῶν πεν-
τήκοντα ἀπὸ μηνὸς Ἁδριανοῦ τοῦ αὐτοῦ
ἔτους, ὡς τοῦ μηνὸς δραχμῶν δέκα πέντε,
μεθ' ἃς ἀπὸ τῶν αὐτῶν δραχμῶν ἑπτα-
20 κοσίων προέσχον παρὰ σοῦ, καθ' ἣν ἐξεδό-
ἀποχὴν
μην σοι διὰ τῆς αὐτῆς τραπέζης τῷ Ἀθὺρ
μηνὶ τοῦ διελθόντος τετάρτου ἔτους, δραχμὰς
πεντακοσίας τριάκοντα δύο κ.....

37. Verpachtung eines Hauses.

O. P. III 502.

Ἐμίσθωσεν Διονυσία Χαιρήμο-
νος μετὰ κυρίου τοῦ υἱοῦ Ἀπίωνος
τοῦ καὶ Διονυσίου Διογένους ἱερέως
Φαυστείνης Σεβαστῆς ἀμφότεροι
5 ἀπ' Ὀξυρύγχων πόλεως Πτολεμᾷ Θέ-
ωνος Ἀντινοΐδι διὰ Ἰουλᾶτος Διδύ-
μου θέσει Δημητρίου τοῦ καὶ Ἀπολ-
λωνίου ἀπ' Ὀξυρύγχων πόλεως ἐφ' ἐ-
νιαυτὸν ἕνα καὶ μῆνας ἓξ ἀπὸ νεομη-
10 νίας τοῦ ὄντος μηνὸς Φαμενὼθ
τοῦ ἐνεστῶτος τετάρτου ἔτους τῶν
κυρίων Αὐτοκρατόρων Ἀντωνίνου
καὶ Οὐήρου τὴν ὑπάρχουσαν αὐτῇ πρό-
τερον τοῦ ἐξανεψίου αὐτῆς Χαιρή-
15 μονος Ἀντινοέως ἐν Ὀξυρύγχων πό-
λει ἐπ' ἀμφόδου Τεμγενούθεως οἰ-
κίαν καὶ αὐλὴν καὶ αἴθρια δύο ὧν ἐν
τῷ ἑτέρῳ ἐστὶν φρέαρ καὶ τὴν προσ-

οῦσαν τῇ οἰκίᾳ παραδρομίδα καὶ
20 ἕτερα χρηστήρια καὶ εἴσοδον καὶ ἔξ-
οδον, ἐνοικίου τῶν μισθουμένων
ὡς τοῦ ἐνιαυτοῦ ἑνός ὡς τοῦ ἐνιαυ-
τοῦ ἑνὸς ἀργυρίου δραχμῶν διακο-
σίων. τῆς δὲ μισθώσεως βεβαιου-
25 μένης ἀποδότω ἡ μεμισθωμέ-
νη τῇ μεμισθωκυίῃ ἐπὶ συν-
κλεισμῷ ἑκάστης ἑξαμήνου τὰς
αἱρούσας τῶν ἐνοικίων δραχμὰς
ἑκατὸν καὶ χράσθω σὺν τοῖς παρ' αὐ-
30 τῆς τοῖς μισθουμένοις αὐτῇ ὡς πρό-
κειται ἐπὶ τὸν χρόνον ἀκωλύτως,
μεθ' ὃν παραδότω καθαρὰ ἀπὸ κο-
πρίων καὶ ἃς παρείληφεν θύρας καὶ
κλεῖς πάντων τῶν τόπων καὶ τοῦ
35 προκειμένου φρέατος τροχελλέαν
σὺν σχοινίῳ καινῷ καὶ τὰς οὔσας λη-
νοὺς λιθίνας δύο ὑδριῶν καὶ ὅλμου
ἢ ἀποτεισάτω οὗ ἐὰν μὴ παραδῷ
τὴν ἀξίαν καὶ ὃ ἐὰν προσοφειλέσῃ ἐ-
40 νοίκιον μεθ' ἡμιολίας, καὶ ἡ πρᾶξις
ἔστω τῇ μεμισθωκυίῃ ἔκ τε τῆς
μεμισθωμένης καὶ ἐκ τῶν ὑπαρχόν-
των αὐτῇ πάντων, τοῦ φυλάκτρου
καὶ πλινθευομένης ὄντων πρὸς
45 τὴν μεμισθωκυῖαν. κυρία ἡ μί-
σθωσις. (ἔτους) δ Αὐτοκράτορος Καίσαρος
Μάρκου Αὐρηλίου Ἀντωνίνου
Σεβαστοῦ καὶ Αὐτοκράτορος Καίσαρος
Λουκίου Αὐρηλίου Οὐήρου Σεβαστοῦ
50 Φαμενὼθ ε. (2. Hand) Ἀπίων ὁ καὶ Διο-
νύσιος ἐπιγέγραμμαι
τῆς μητρός μου κύρι-
ος καὶ μεμίσθωκα
σὺν τοῖς ἐπάνω τὰς
55 ἐν τῇ αὐλῇ κέλλας·
χρ[ό]νος ὁ αὐτός.

38. Kornladung und Speicherbesichtigung.

O. P. I 63.

Παήσιος Ἀρχελάωι τῶι
φιλτάτωι χαίρειν.
τοῦ ἀναδιδόντος σοι τὸ ἐπιστόλιόν
μου ναυκλήρου Πανεμουῶτος
5 προνόησον οὖν πάσῃ σπουδῇ ἐν-
βαλέσθαι αὐτοῦ τὸν γόμον ὡς ἔθος ὃν
